# TEZAUR LITURGIC

**7 OCTOMBRIE**

**HARALAMBOS BOUSIA**

# SLUJBA SF.MARI MUCENICI SERGHIE ŞI VAH DE LA ROSAFA SIRIEI

**ATENA,2010**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 07 ΟΚΤΩΒΡΙΟΣ

# ΜΝΗΜΗ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΣΕΡΓΙΟΥ ΚΑΙ ΒΑΚΧΟΥ

# ΑΚΟΛΟΥΘΙΑ

## Ποίημα Δρ.Χαραλάμπους Μπούσια

### ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Μετά τον Προοιμιακόν, εις το· Κύριε εκέκραξα, ιστώμεν στίχους δ’ , και ψάλλομεν τα εξής Προσόμοια. Ἠχος α’ . Πανεύφημοι Μάρτυρες.

Αγίων Μαρτύρων ξυνωρίς, στρατιώται άριστοι, συνδεδεμένοι τη χάριτι, Θεού ηθλήσατε, Σέργιε και Βάκχε, προ ανόμου βήματος, φρονήματος ενί και την δύναμιν,της θείας πίστεως, κατεδείξατε τοις πέρασιν, όθεν πάντες, υμάς μακαρίζομεν.

Οπλίται αήττητοι Χριστού, φέγγει ελλαμπόμενοι, σκοτίαν απεδιώξατε, ειδώλων πίστεως, και της ευψυχίας, αστραπαίς ηλάσατε, τον γνόφον δυναστών φωταυγέστατοι, σταδίου πρώταθλοι, Βάκχε μάκαρ αξιάγαστε, και Μαρτύρων, απαύγασμα Σέργιε.

Αικίας υπέστητε φρικτάς, ανδρικώ φρονήματι, και του δυνάστου την δύναμιν, πάσαν καθείλετε, Αθλοφόρε Βάκχε, και γενναίε Σέργιε, οπλίται του Σωτήρος αήττητοι, Ω νυν πρεσβεύσατε, δωρηθήναι ταις ψυχαίς ημών, την ειρήνην, και το μέγα έλεος.

Μαρτύρων συνόντες τοις χοροίς, και Αγγέλων τάγμασιν, εν πόλω δόξης στερρότατοι, αιτείσθε πάντοτε, Σέργιε και Βάκχε, φωτισμόν και δύναμιν, ημίν τοις εκτελούσινεν άσμασι, τα κατορθώματα, και την μνήμην εορτάζουσιν, ετησίως, υμών την πανσέβαστον.

Δόξα. Ήχος β' .

Μαρτυρικόν υπελθόντες αγώνα, Χριστόν ομού ωμολογήσατε, και ειδώλων την πλάνην ησχύνατε, Σέργιε και Βάκχε πανεύφημοι. Τω οικείω γαρ φοινιχθέντες αίματι,αθλητών εδείχθητε πρότυπα, και πίστεως αριστείς γενναιότατοι. Και νυν ουρανών της ευκλείας απλαύοντες, τη Παναγία Τριάδι πρεσβεύσατε, υπέρ ειρήνης του κόσμου, και σωτηρίας των ψυχών ημών.

Και νυν. Θεοτοκίον.

Την πάσαν ελπίδα μου εις Σε ανατίθημι, Μήτερ του Θεού, φύλαξόν με υπό την σκέπη Σου.

Απόστιχα. Ήχος β' . Οίκος του Εφραθά.

Ρώμης σεπτοί βλαστοί, ηνθήσατε ως κρίνα, εν μέσω του σταδίου, ευώδη θείε Βάκχε, και καρτερόφρον Σέργιε.

Στ.: Θαυμαστός ο Θεός εν τοις Αγίοις Αυτού.

Χαίροις των Αθλητών, δυάς η πανολβία, Κυρίου στρατηλάται, κρηπίς ανδρείας Βάκχε, και σθένους βάθρον Σέργιε.

Στ.: Τοις Αγίοις τοις εν τη γη Αυτού, εθαυμάστωσεν ο Κύριος.

Δίδοσθε χρυσαυγήν, ελευθερίας πάσι, τοις στένουσιν απίστων, εν τη δουλεία Βάκχε, και Σέργιε πανεύφημε.

Δόξα. Τριαδικόν.

Ήθλησεν υπέρ Σου, Τρισήλιε Θεότης, η ξυνωρίς Μαρτύρων, ο Βάκχος ο στερρόφρων, και ο γενναίος Σέργιος.

Και νυν. Θεοτοκίον.

Πάθος του Σου Υιού, η ξυνωρίς Μαρτύρων, δοξάσασα Παρθένε, της αιωνίου δόξης, περιφανώς ηξίωται.

Νυν απολύεις. Τρισάγιον.

Ήχος πλ. α' . Τον συνάναρχον Λόγον.

Ομοφρόνως την δόξαν καταφρονήσασαν, της στρατιάς της γηίνης, δια την δόξαν Χριστού, ξυνωρίδα οπλιτών την γενναιόφρονα, Βάκχον και Σέργιον φαιδραίς, ανυμνήσωμεν ωδαίς, ειδώλων ως καθαιρέτας, και πρεσβευτάς ολοθέρμους, ημών προς Κύριον τον εύσπλαγχνον.

Δόξα. Και νυν. Θεοτοκίον.

Χαίρε πύλη Κυρίου η αδιόδευτος, χαίρε τείχος και σκέπη των προστρεχόντων εις σε, χαίρε αχείμαστε λιμήν και Απειρόγαμε, η τεκούσα εν σαρκί τον Ποιητήν σου και Θεόν, πρεσβεύουσα μη ελλείπης, υπέρ των ανυμνούντων, και προσκυνούντων τον Τόκον σου.

Απόλυσις.

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετά τον Προοιμιακόν, το· Μακάριος ανήρ. Εις το· Κυριε εκέκραξα, ιστώμεν Στίχους ς' και ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α'. Πανεύφημοι Μαρτυρες

Βακχε και Σεργιε υμάς, ο της δόξης Κυριος, κατακοσμήσας ταις χάρισι, ταις των ιάσεων, θαυμαστούς εν κόσμω , ευκλεώς ανέδειξε, νοσούντας δι' υμών θεραπεύων αεί· διο πρεσβεύσατε, δωρηθήναι ταις ψυχαίς ημών, την ειρήνην, και το μέγα έλεος.

Βάκχε και Σέργιε υμείς, επί γης αθλήσαντες, εν ουρανοίς συγχορεύετε, συν Ασωμάτοις γαρ, αεί παρεστώτες, τη Τριάδι Άγιοι, και δόξη εντρυφώντες αγάλλεσθε· διο πρεσβεύσατε, δωρηθήναι ταις ψυχαίς ημών, την ειρήνην, και το μέγα έλεος.

Βάκχε και Σέργιε υμείς, του εχθρού την ένστασιν, ανδρείως άμφω ελύσατε· και των ειδώλων δε, ολεθρίαν πλάνην, ευσεβώς απώσασθε, Χριστόν τον Βασιλέα κηρύξαντες· ον ικετεύσατε, δωρηθήναι ταις ψυχαίς ημών, την ειρήνην, και το μέγα έλεος.

Έτερα. Ήχος δ’ . Ως γενναίον εν Μάρτυσι.

Την δυάδα τιμήσωμεν, των Μαρτύρων εν άσμασι, Σέργιον και Βάκχον τους γενναιόφρονας, αδελφικώς γαρ συνδούμενοι, αγάπη του Κτίσαντος, και ανύσαντες οδόν, αηττήτου αθλήσεως, ηξιώθησαν, ουρανίων στεφάνων όθεν μνήμην, την αυτών μελισταγέσιν, ωδαίς και άσμασι μέλπομεν.

Ανενδότω φρονήματι, μαρτυρίου το στάδιον, Βάκχε διανύων μελών σου τάνυσιν, και αικισμούς καθυπέμεινας, δυνάμει ρωννύμενος, αθλοθέτου Ιησού, όθεν αιωνιότητος, χαίρων είληφας, τα βραβεία και έτυχες εν πόλω, απολαύσεως αφθίτου, και θείας αγαλλιάσεως.

Σιδηρά υποδήματα, αιχμηρούς ήλους φέροντα, Σέργιε τρισμάκαρ υποδησάμενος, δουκός αμάξη δυνάστου σου, οπίσω πανένδοξε, Αθλητά ακολουθείν, ηναγκάσθης και πόδας σου, επορφύρωσας, των αιμάτων σου ρείθροις καλλιμάρτυς, ο τους δυσφορήτους πόνους, καθυπομένων τραυμάτων σου.

Δοξα... Ήχος δ'

Σέργιος και Βάκχος, η φαιδρά των Μαρτύρων και τερπνή λαμπηδών, των μεν τυράννων το θράσος κατέβαλε, των δε ειδώλων την πλάνην κατήργησε· και της θεογνωσίας το τέλειον μυστήριον, λαμπρά τη φωνή, υψηγορούντες ανεκήρυττον. Ων ταις πρεσβείαις Χριστέ, ο τούτων νομοδότης, αγωνοθέτης τε και στεφανοθέτης, και ημάς αξίωσον, κατά των αοράτων και ορατών δυνάμεων, το κράτος αναδήσασθαι.

Και νυν... Θεοτοκίον.

Ο δια σε Θεοπάτωρ προφήτης Δαυΐδ, μελωδικώς περί σου προανεφώνησε, τω μεγαλειά σοι ποιήσαντι. Παρέστη η Βασίλισσα εκ δεξιών σου. Σε γαρ μητέρα πρόξενον ζωής ανέδειξεν, ο απάτωρ εκ σου ενανθρωπήσαι ευδοκήσας Θεός, ίνα την εαυτού αναπλάση εικόνα, φθαρείσαν τοις πάθεσι, και το πλανηθέν ορειάλωτον ευρών, πρόβατον τοις ώμοις αναλαβών, τω Πατρί προσαγάγη, και τω ιδίω θελήματι, ταις ουρανίαις συνάψη Δυνάμεσι, και σώση Θεοτόκε τον κόσμον, Χριστός ο έχων, το μέγα και πλούσιον έλεος.

Είσοδος. Φως Ιλαρόν. Το Προκείμενον της ημέρας και τα Αναγνώσματα.

Προφητείας Ησαΐου το Ανάγνωσμα. (μγ΄ 9-14).

Τάδε λέγει Κύριος. Πάντα τα έθνη συνήχθησαν άμα, και συναχθήσονται άρχοντες εξ αυτών. Τις αναγγελεί ταύτα εν αυτοίς; η τα εξ αρχής, τις ακουστά ποιήσει υμίν; Αγαγέτωσαν τους μάρτυρας αυτών και δικαιωθήτωσαν, και ειπάτωσαν αληθή. Γίνεσθέ μοι μάρτυρες, και εγώ μάρτυς Κύριος ο Θεός, και ο παις, ον εξελεξάμην· ίνα γνώτε, και πιστεύσητε, και συνήτε, ότι εγώ ειμι. Έμπροσθέν μου ουκ εγένετο άλλος Θεός, και μετ ἐμὲ ουκ έσται. Εγώ ειμι ο Θεός, και ουκ έστι πάρεξ εμού ο σώζων. Εγώ ανήγγειλα και έσωσα, ωνείδισα, και ουκ ην εν υμίν αλλότριος. Υμείς εμοί μάρτυρες, και εγώ Κύριος ο Θεός· ότι απ ἀρχῆς εγώ ειμι, και ουκ έστιν ο εκ των χειρών μου εξαιρούμενος. Ποιήσω, και τις αποστρέψει αυτό; Ούτω λέγει Κύριος ο Θεός, ο λυτρούμενος ημάς, ο Άγιος Ισραήλ.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (γ΄ 1-9).

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ ἡμῶν πορεία σύντριμμα· οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται· ότι ο Θεός επείρασεν αυτούς, και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμη

διαδραμούνται. Κρινούσιν έθνη, και κρατήσουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ αὐτόν, συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ· ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (ε΄ 15-23, στ΄ 1-3).

Δίκαιοι εις τον αιώνα ζώσι, και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω. Δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλλους εκ χειρός Κυρίου· ότι τη δεξιά αυτού σκεπάσει αυτούς, και τω βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν τον ζήλον αυτού και οπλοποιήσει την κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα δικαιοσύνην και περιθήσεται κόρυθα κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα· οξυνεί δε απότομον οργήν εις ρομφαίαν. Συνεκπολεμήσει αυτώ ο κόσμος επί τους παράφρονας· πορεύσονται εύστοχοι βολίδες αστραπών, και ως από ευκύκλου τόξου, των νεφών, επί σκοπόν αλούνται, και εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ αὐτῶν ύδωρ θαλάσσης· ποταμοί δε συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως, και ως λαίλαψ εκλικμήσει αυτούς, και ερημώσει πάσαν την γην ανομία, και η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ουν, Βασιλείς, και σύνετε· μάθετε Δικασταί περάτων γης· ενωτίσασθε οι κρατούντες πλήθους, και

γεγαυρωμένοι επί όχλοις εθνών· ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, και η δυναστεία παρά Υψίστου.

Εις την Λιτήν. Ήχος α’ .

Την θεαυγή των Αθλοφόρων ξυνωρίδα, την ομοφρόνως αριστεύσασαν, Σέργιον και Βάκχον συμφώνως ευφημήσωμεν. Ούτοι γαρ την εν Χριστώ επιγνόντες αλήθειαν, ομοφροσύνη τελεία Αυτού την πίστιν εκήρυξαν, και ειδώλων την πλάνην κατηδάφισαν. Οικείοις ουν άθλοις τον αθλοθέτην Σωτήρα δοξάσαντες, χάριν εύρον υπέρ ημών Αυτώ πρεσβεύειν, τω παρέχοντι ημίν το μέγα και πλούσιον έλεος.

Ο αυτός.

Δαυϊτικώς ανεβόων, Σεργιος και Βακχος οι Μαρτυρες. Ιδού δη τι καλόν, η τι τερπνόν, αλλ' η το κατοικείν Αδελφούς επί το αυτό, ου δεσμούμενοι φύσεως σχέσει, αλλά πίστεως τρόπω. Όθεν οι Άγιοι, τον εχθρόν κατεπάτησαν, και τον σταυρόν αράμενοι, τω Χριστώ ηκολούθησαν, και πρεσβεύουσι τω Βασιλεί και Θεώ, δωρηθήναι ταίςψυχαίς ημών το μέγα έλεος.

Ήχος β’ .

Μαξιμαινού βασιλεύοντος ήθλησαν ως άσαρκοι, οι επιφανείς και ανδρείοι Ρωμαίοι στρατιώται, οι ευγενείς και νεώτατοι Σέργιος και Βάκχος. Ούτοι γαρ ως αιώνιον την μέλλουσαν ζωήν μελετώντες, και την πρόσκαιρον σοφώς λογιζόμενοι παροικίαν, ως έμποροι σοφί επολιτεύσαντο. Μαρτυρικοίς ουν ομιλήσαντες καμάτοις,

επαξίως επάθλων ηξιώθησαν εν πόλω, ένθα Χριστώ πρεσβεύουσιν υπέρ των ψυχών ημών.

Ήχος γ .

Μη πειθόμενοι θύσαι τοις αψύχοις και αναισθήτοις ξοάνοις, και πάσαν αυτών καταλύσαντες απάτην, Χριστόν Θεόν αληθινόν ωμολογήσατε Σέργιε και Βάκχε, υμείς γαρ πομπευόμενοι δια Χριστόν εσεμνύνεσθε, και εμπαιζόμενοι προσηύχεσθε Μάρτυρες ένδοξοι. Και νυν ως Αθληταί στεφηφόροι και Βασιλείας κληρονόμοι, παρρησίαν προς Χριστόν έχετε, πρεσβεύειν υπέρ των ψυχών ημών.

Ο αυτός.

Ει τι καλόν, ει τι τερπνόν, η αυτάδελφος γνώμη των Μαρτύρων σου Κύριε· ους γαρ η φύσις σαρκικούς αδελφούς ουκ εγνώρισε, τούτους η πίστις αδελφά φρονείν μέχρις αίματος κατηνάγκασεν, ο Θεός, ταις ευχαίς αυτών, ελέησον ημάς.

Ήχος δ' .

Όλω νοι Χριστώ τω αγωνοθέτη ατενίζοντες, ώσπερ άλλου πάσχοντος, τους κολασμούς και τα βασάνους ηνέγκατε, Σέργιε και Βάκχε πολύαθλοι. Διο νυν η επί γης στρατευομένη του Χριστού Εκκλησία, ύμνοις και άσμασι καταστέφουσα την υμών πανσέβαστον μνήμην, τας υμών εκδέχεται ικεσίας προς βίον κρείττονα.

Ο αυτός.

Αθλητική ευψυχία προς την τελείαν Χριστού αγάπην, τας ψυχάς υμών επτερώσατε Σέργιε και Βάκχε πανεύφημοι, εκ γαρ του πλούτου των καρδιών υμών Μάρτυρες, αγαθάς χορηγίας μετέδοτε τοις χριστωνύμοις. Καρτερώς ουν διαθλήσαντες, μεγαλοπρεπώς εδέξασθε το της νίκης διάδημα, παρά Χριστού του Θεού και Σωτήρος των ψυχών ημών.

Ο αυτός.

Προφητικώς τοις Αγίοις συνελθόντες, τον ύμνον βοήσωμεν· Ιδού δη τι καλον, η τι τερπνόν, αλλ' η το κατοικείν αδελφούς επί το αυτό, ου φύσεως ακολουθία, αλλά, πίστεως ενώσει του Αγίου Πνεύματος· τα γαρ φθαρτά βδελυξάμενοι πάντα, ήραν τον σταυρόν επ' ώμων, και ηκολούθησαν τω Χριστώ, Σέργιος και Βάκχος οι γενναίοι Μάρτυρες, και παρρησίαν εν ουρανοίς κεκτημένοι, πρεσβεύουσιν αυτώ υπέρ ημών, του καταπεμφθήναι ημίν το μέγα έλεος.

Ο αυτός.

Υποδησάμενος Σέργιος, εν ετοιμασία του Ευαγγελίου της ειρήνης, τα των ήλων υποδήματα, τω αίματι τω των ποδών απορρέοντι, τον όφιν τον επιτηρούντα την πτέρναν ημών εξετύφλωσε, και τον του μαρτυρίου στέφανον εκομίσατο. Διο ευχαίς αυτού Χριστέ ο Θεός, καθήλωσον εκ του φόβου σου τας σάρκας ημών, και ημάς ελέησον.

Ήχος πλ. α’ .

Συμφρονούντες τον καλόν αγώνα ετελέσατε, και τοις οικείοις φοινιχθέντες αίμας, επαξίων επάθλων ετύχετε μεγαλομάρτυρες, απεριτρέπτω γαρ καρδία ηγωνίσασθε, αφορώντες εις τον αρχηγόν και τελειωτήν της πίστεως, και την πλάνην των ειδώλων κατεπατήσατε. Αιωνίου ουν δόξης απολαύοντες, Σέργιε και Βάκχε πρεσβεύσατε, ευρείν ημάς έλεος εν τη ημέρα της Κρίσεως.

Ήχος πλ. β' .

Τω φωτί της ευσεβείας καταλαμπόμενοι, των ειδώλων διεσκεδάσατε σκοτομήνην, και στρατιώται αήττητοι του νοητού Ηλίου της δικαιοσύνης, Χριστού του Θεού ημών εδείχθητε Σέργιε και Βάκχε. Συμφωνία γαρ γνώμης και αθλητικοίς αγώσιν, επαξίως τον Κύριον εδοξάσατε, και υπεραρθέντες των γηίνων, των υπέρ φύσιν ηξιώθητε αοίδιμοι. Μεγαλομάρτυρες ουν πανάριστοι οφθέντες, της παναγίου Τριάδος του φάους απολαύευε, ου και ημάς αξιώσατε τους εορτάζοντας πόθω, υμών την αήττητον άθλησιν.

Δόξα. Ήχος πλ. δ' .

Της ευσεβείας την ισχύν επ' ώμων αναλαβόντες, μαρτυρικώς ηνδραγαθήσατε Σέργιε και Βάκχε πολύαθλοι. Οικείοις γαρ αίμασι πορφυρώσαντες το στρατιωτικόν υμών ένδυμα, λαμπροχίτωνες εισήλθετε εις την χαράν του Παντάνακτος. Και νυν συν Αυτώ ευφραινόμενοι εν σκηνώμασι θείοις, μη παύσησθε πρεσβεύοντες ημίν διδόναι πταισμάτων συγχώρησιν.

Και νυν. Θεοτοκίον.

Την πάσαν ελπίδα εις Σε ανατίθημι, Μήτερ του Θεού, φύλαξόν με υπό την σκέπην

Εις τον Στίχον. Ήχος πλ. α' . Χαίροις ασκητικών.

Χαίροις, των Αθλητών ξυνωρίς, μεγαλομάρτυρες Κυρίου πανένδοξοι, αήττητοι στρατηλάται, Αρχιστρατήγου Χριστού, τα της ευσεβείας, καλλωπίσματα, Ρωμαίων κοσμήτορες, Εκκλησίας διάκοσμοι, στερραί κρηπίδες, αληθείας και θέμεθλα, γενναιότητος, και ευψύχου ενστάσεως, Σέργιε παμμακάριστε, και Βάκχε τρισόλβιε, της στρατιάς του Υψίστου, περιφανή ωραίσματα, Χριστόν δυσωπείτε, ταις ψυχαίς ημών δοθήναι, το μέγα έλεος.

Στ.: Θαυμαστός ο Θεός εν τοις Αγίοις Αυτού.

Χαίροις, υπαρχηγέ της στολής, των γεντηλίων Βάκχε πίστεως πρόβολε, την έλλαμψιν της αγάπης, ο δεδεγμένος Χριστού, και ειδώλων πλάνης την σκοτόμαιναν, λιπών συν συνάθλω σου, τω Σεργίω τω έμφρονι, μεθ' ου το μέγα, του Παντάνακτος όνομα, ωμολόγησας, προ δυνάστου σου βήματος, Μάρτυς Χριστού πανεύφημε, βασάνων υπέρτερε, προς υπερκόσμιον λήξιν, και λαμπροφόρα σκηνώματα, αρθείς θείας δόξης, υπέρ πάντων εκδυσώπει, των ευφημούντων σε.

Στ.: Τοις Αγίοις τοις εν τη γη Αυτού, εθαυμάστωσεν ο Κύριος.

Χαίροις, ο στρατιώτης Χριστού, ο τροπωσάμενος τυράννου παράταξιν, του Πνεύματος τη δυνάμει, συν Βάκχω συναθλητή, σου τω στερροψύχω, θεοτίμητε, συ γαρ πομπευόμενος, γυναικεία

ενδύματα, ενδεδυμένος, εν ταις ρύμαις της πόλεως, και κατώδυνον, υπομείνας μαρτύριον, Σέργιε τρισμακάριστε, υπέστης απότμησιν, της ιεράς κεφαλής σου, και κληρονόμος φαιδρότητος, αλήκτου εγένου, και διάπυρος μεσίτης, ημών προς Κύριον.

Δόξα... Ήχος πλ. δ'

Εκραταιώθη των του Χριστού Μαρτύρων, κατ' εχθρών το σύστημα, εν οις ως φωστήρες κοσμικοί διαλάμπουσιν, οι ευσθενείς και άριστοι Αθλοφόροι, Σέργιος τε και Βακχος. Τούτοις έκλινε τα νώτα η πονηρά φάλαγξ των δαιμόνων. Τούτους εξεπλάγησαν τύραννοι, και εθαύμασαν Άγγελοι, ορώντες τον ασώματον, υπό σαρκός πατούμενον, των δε πιστών η Εκκλησία, πανέορτον εορτήν και κοσμικήν χαρμονήν, επιτελούσα βοά· ο ασθενείασαρκός πεδήσας τον ισχυρόν, ταις πρεσβείαις των Αγίων σου, σώσον τας ψυχάς ημών.

Και νυν... Θεοτοκίον

Ανύμφευτε Παρθένε, η τον Θεόν αφράστως συλλαβούσα σαρκί, Μήτηρ Θεού του υψίστου, σων οικετών παρακλήσεις δέχου Πανάμωμε, η πάσι χορηγούσα καθαρισμόν των πταισμάτων, νυν τας ημών ικεσίας προσδεχομένη, δυσώπει σωθήναι πάντας ημάς.

Νυν απολύεις. Τρισάγιον.

Ήχος πλ. α’ . Τον συνάναρχον Λόγον.

Ομοφρόνως την δόξαν καταφρονήσασαν, της στρατιάς της γηίνης, δια την δόξαν Χριστού, ξυνωρίδα οπλιτών την γενναιόφρονα, Βάκχον και Σέργιον φαιδραίς, ανυμνήσωμεν ωδαίς, ειδώλων ως

καθαιρέτας, και πρεσβευτάς ολοθέρμους, ημών προς Κύριον τον εύσπλαγχνον.

Δόξα. Και νυν. Θεοτοκίον.

Χαίρε πύλη Κυρίου η αδιόδευτος, χαίρε τείχος και σκέπη των προστρεχόντων εις σε, χαίρε αχείμαστε λιμήν και Απειρόγαμε, η τεκούσα εν σαρκί τον Ποιητήν σου και Θεόν, πρεσβεύουσα μη ελλείπης, υπέρ των ανυμνούντων, και προσκυνούντων τον Τόκον σου.

Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την α στιχολογίαν, κάθισμα.

Ήχος α' . Τον τάφον Σου Σωτήρ.

Δυάς η εκλεκρή, λαμπρυνθείσα τω φέγγει, του πάντων Ποιητού, των ενδόξων Μαρτύρων, ο Βάκχος ο άριστος, και ο εύψυχος Σέργιος, ηγωνίσαντο, υπέρ της δόξης Κυρίου, του κρατύναντος, αυτούς εν μέσω σταδίου, συντρίψαι τα είδωλα.

Δόξα. Και νυν. Θεοτοκίον.

Την δόξαν Σου Υιού, και Σωτήρος του κόσμου, ποθήσαντες καλώς, των Μαρτύρων οι δήμοι, Παρθένε πανάμωμε, ανδρικώς ηγωνίσαντο, και απέλαβον, της αφθαρσίας του στέφους, ικετεύοντες, υπέρ ημών των εκθύμως, τιμώντων Σε Δέσποινα.

Μετά την β' στιχολογίαν, κάθισμα. Ήχος δ' . Ταχύ προκατάλαβε.

Πανεύφημοι Μάρτυρες Βάκχε οπλίτα στερρέ, και Σέργιε πάνσοφε τον παλαιόν πτερνιστήν, καιρίως επλήξατε, πόνοις του μαρτυρίου,

και αιμάτων ρανίσιν, όθεν αθανασίας, ειληφότες τα γέρα, ημών προς τον Θεόν πρεσβευταί, άγρυπνοι ώφθητε.

Δόξα. Και νυν. Θεοτοκίον.

Σαρκός ομοιώματι φανείς βροτοίς ο Θεός, ημάς ελυτρώσατο εκ της αρχαίας αράς, πανύμνητε Δέσποινα, όθεν Σων θαυμασίων, μεγαλύνοντες πλήθος, ύμνοις μελισταγέσι, τον Σον άφραστον Τόκον, δοξάζομεν αεί Μαριάμ, κόσμου διάσωσμα.

Μετά τον Πολυέλεον, κάθισμα. Ήχος γ’ . Την ωραιότητα.

Γενναίους Μάρτυρας, οπλίτας πίστεως, τους πλάνης τρώσαντας, ειδώλων μέλψωμεν, Σέργιον κλέος Αθλητών, και Βάκχον ανδρείας φάρον, εν ενί φρονήματι, τους Χριστόν μεγαλύναντας, ως ευψύχους κήρυκας, ευσεβείας κραυγάζοντες, ευτάκτοις μελωδίαις εκ πόθου· Χαίρε δυάς κλεινών Μαρτύρων.

Δόξα. Και νυν. Θεοτοκίον.

Την σκοτισθείσάν μου, ψυχήν καταύγασον, φωτί της χάριτος, του θείου τόκου Σου, αγνή Παρθένε Μαριάμ, ελπίς των απηλπισμένων, και αχλύν απέλασον, των απείρων πταισμάτων μου, όπως εύρω έλεος εν τη ώρα της Κρίσεως, και πόθω ασιγήτως βοώ Σοι· Χαίρε η Κεχαριτωμένη.

Το α’ αντίφωνον του δ’ ἤχου.

Προκείμενον: Θαυμαστός ο Θεός εν τοις Αγίοις Αυτού.

Στ.: Τοις Αγίοις τοις εν τη γη Αυτού, εθαυμάστωσεν ο Κύριος.

Ευαγγέλιον, κατά Ιωάννην (Κεφ. ιε 17-ιστ 2):

Είπεν ο Κύριος τοις εαυτού μαθηταίς· Ει ο κόσμος υμάς μισεί... (Ζήτει εν τω Όρθρω της ΚΣΤ Ὀκτωβρίου).

Ο Ν ψαλμός.

Δόξα: Ταις των Αθλοφόρων πρεσβείαις Ελεήμον...

Και νυν: Ταις της Θεοτόκου πρεσβείαις Ελεήμον...

Ιδιόμελον. Ήχος πλ. β . Στ.: Ελέησόν με ο Θεός...

Μαρτυρικοίς εμπρέψαντες πόνοις, τον Κύριον της ζωής και του θανάτου εδοξάσατε, Αθλοφόροι πανάριστοι. Ειδωλόφρονος γαρ δυνάστου πλεκτάνας λύσαντες, τη αθλητική υμών ενστάσει, τρόπαιον εστήσατε της ευσεβείας περίδοξον. Και νυν Χριστώ παριστάμενοι, μη διαλίπητε Σέργιε και Βάκχε, Χριστώ πρεσβεύοντες ελεηθήναι τας ψυχάς ημών.

Είτα οι Κανόνες· της Θεοτόκου και β’ των Αγίων.

Ο α των Αγίων ο παρών, ου η Ακροστιχίς: Σέργιον αθλοφόρον και Βάκχον αοίδιμον άδω. Θεοφάνους

Ωδή α’ Ήχος α' Σου η τροπαιούχος δεξιά

Σέργιε θεράπον του Χριστού, συμπεσβευτήν προσλαβών και συλλήπτορα, Βακχον τον αοίδιμον, μεθ' ου τους άθλους θεοφρόνως ήνυσας, λόγον μοι σοφίας, ημάς υμνούντι βραβεύσατε.

Επί την ασάλευτον Χριστού, πέτραν της πίστεως Άγιοι Μαρτυρες, θέντες τον θεμέλιον, επ' ασφαλούς ερηρεισμένοι βάσεως, πρόβολοι και πύργοι, της ευσεβείας εδείχθητε.

Ρήμασι πιστεύσαντες Χριστού, και προς αυτόν ακλινώς ατενίζοντες, πάσαν διεπτύσατε, παρερχομένην ευδοξίαν Άγιοι, δόξης αϊδίου, κατασχεθέντες τω έρωτι.

Γένους και πατρίδος και τιμής, δια Χριστόν γυμνωθέντες ηγάλλεσθε, και περιβαλλόμενοι, θηλυπρεπές ανδρειοφρόνως ένδυμα την της αφθαρσίας, καταστολήν ημφιάσασθε.

Θεοτοκίον

Ίλεων γενέσθαι τοις πιστοίς, και ευμενή Θεομήτορ δυσώπησον, Λογον ον εγέννησας, σωματικώς ημίν επιδημήσαντα· σε γαρ προστασίαν, και σωτηρίαν κεκτήμεθα.

Ο β' των Αγίων, ου η ακροστιχίς: Σεργίου και Βάκχου συνυμνώ άθλησιν. Χ. Μ.

Ωδή α' . Ήχος δ' . Ανοίξω το στόμα μου.

Σεργίου τιμήσωμεν και Βάκχου πόνους αθλήσεως, πιστώς ανακράζοντες· στερροί οπλίται Χριστού, οι τοις χεύμασιν, αιμάτων φοινιχθέντες οικείων ετύχχετε, δόξης της κρείττονος.

Εδείχθητε Μάρτυρες της Ρώμης θεία βλαστήματα, Χριστού φίλοι γνήσιοι, και Αθλητών καλλοναί, Βάκχε πάντιμε, και Σέργιε γενναίε, υμών όθεν πάμφωτον, μνήμην γεραίρομεν.

Ρεόντων υπέρτεροι ως αληθώς ανεδείχθητε, ακμήν της νεότητος, καταλιπόντες ομού, αξιώματα, ευγένειαν και κάλλος, προσώπου περίδοξοι, Βάκχε και Σέργιε.

Θεοτοκίον.

Γηθόμενοι μέλπομεν την Σην άνύστακτον πρόνοιαν, και κηδεμονίαν Σου, την ακλινή Μαριάμ, παντευλόγητε, Κυρία Θεοτόκε, αγνή αειπάρθενε, κόσμου διάσωσμα.

Ωδή γ'. Ο μόνος ειδώς

Ο μόνος γινώσκων ως Θεός, τα πάντα πριν γενέσεως, την προς αυτόν ορών υμών πρόθεσιν, σοφίας λόγων και θείας γνώσεως, και στερρού φρονήματος, δαψιλώς ενέπλησεν, ως αυτού στρατιώτας Μακάριοι.

Νομίμως θεράποντες Χριστού, αθλήσαι προελόμενοι, την φθειρομένην δόξαν και ρέουσαν, και κόσμον πάντα και κοσμοκράτορα, λογισμώ θεόφρονι, αθλοφόροι Μάρτυρες, εβδελύξασθε πόθω του κτίσαντος.

Αχράντοις νοός επιβολαίς, Θεώ νυν παριστάμενοι, και της εκείθεν αίγλης πληρούμενοι, και της αφράστου μακαριότητος, σαφώς απολαύοντες, πειρασμών τους ημάς γεραίροντας, Αθλοφόροι λυτρώσασθε.

Θεοτοκίον

Θανάτω κρατούμενος το πριν, Αδάμ νυν ηλευθέρωται, τη ση γεννήσει μόνη Θεόνυμφε· ζωήν γαρ όντως την ενυπόστατον, ενωθείσαν σώματι, Αγνή καθ' υπόστασιν, υπέρ φύσιν και λόγον εκύησας.

Έτερος. Τους Σους υμνολόγους.

Ισχύϊ ρωννύμενοι τη θεία, πολύαθλοι Μάρτυρες Χριστού, προθύμως προς μαρτύριον, γενναίοι εχωρήσατε, Χριστόν παντός κηρύττοντες, Βάκχε και Σέργιε Κύριον.

Ομού επατήσατε το θράσος, του άφρονος Μαξιμιανού, και της ψυχής υψώσατε, τον πόθον προς τον Κύριον, οπλίται ώσπερ σύμφρονες, Βάκχε και Σέργιε πάνσεπτοι.

Υμνούμεν ως άστρα Εκκλησίας, πολύφωτα Μάρτυρες υμάς, αλκίφρον όντως Σέργιε, και Βάκχε τρισμακάριστε, τους μαρτυρίου λάμψεσι, πάσαν την κτίσιν φωτίσαντας.

Θεοτοκίον.

Καθάπερ αστείρευτος χειμάρρους, ποτίζεις καρδίας των πιστών, των δωρεών Σου νάμασι, αγνή Θεογεννήτρια, και αγιάζεις άπαντας, τους Σοι αεί καταφεύγοντας.

Κάθισμα Ήχος πλ. δ'. Την σοφίαν και λόγον

Τα της πίστεως άνθη, τους νοητούς μαργαρίτας Κυρίου και αθλητάς, Σεργιον τιμήσωμεν, και τον Βάκχον τους Μάρτυρας, ως του εχθρού την πλάνην, ενθέως πατήσαντας, και των ειδώλων πάσαν ισχύν εδαφίσαντας· όθεν επαξίως, ουρανόθεν το στέφος, της νίκης δεξάμενοι, συν Αγγέλοις χορεύουσι· διο πίστει βοήσωμεν· Πρεσβεύσατε Χριστώ τω Θεώ, των πταισμάτων άφεσιν δωρήσασθαι, τοις εορτάζουσι πόθω, την αγίαν μνήμην υμών.

Δόξα. Ήχος γ' . Θείας πίστεως.

Πάση φαίνεται, τη οικουμένη, ως λαμπρότατος, δίφωτος λύχνος, ευψυχίας και θάρρούς πανένδοξοι, και των παθών απελαύνετε ζόφωσιν, Θεού τη χάριτι Βάκχε και Σέργιε, καρτερόψυχοι διόπερ υμών δεόμεθα, των θείων πρεσβευτών ημών προς Κύριον.

Και νυν. Θεοτοκίον.

Τον προσπίπτοντα, Ση θεία σκέπη, καταξίωσον, της ουρανίου, Παναγία Θεοτόκε λαμπρότητος, η Ζωοδότην Χριστόν κόσμω τέξασα, τον σωτηρίας αυγήν ανατείλαντα, τοις κραύγαζουσι φωναίς και ευήχοις άσμασιν· αγνή Θεοκυήτορ χαίρε Δέσποινα.

Ωδή δ'. Όρος σε τη χάριτι

Λαμπτήρες διττοί, από δυσμών εξανέτειλαν, την εναντίαν τω της γης, τότε κρατούντι δυσσεβεί, ποιούμενοι κίνησιν, και προς την σην ανατολήν επειγόμενοι, την φωτοφόρον Χριστέ και σωτήριον.

Ου ξίφος ου πυρ, ου διωγμός ουδέ μάστιγες, της ευσεβούς περί Θεόν, γνώμης εχώρισαν υμάς· ζωήν γαρ ηγήσασθε, την τελευτήν την δι' αυτόν αξιάγαστοι, και μακαρίαν τρυφήν και ανώλεθρον.

Φωστήρες οι όντως, απλανείς το στερέωμα, της Εκκλησίας του Χριστού, περιαυγάζουσι φωτί, της θείας ελλάμψεως, και τας ψυχάς των ευσεβών κατευφραίνουσι, τας των θαυμάτων ακτίνας εκπέμποντες.

Ο Βάκχος ο θείος, και πανάριστος Σέργιος, ενιαυτών περιτροπαίς, τους ευσεβείας εραστάς, και τους φιλομάρτυρας, πνευματικώς προς ευωχίαν προτρέπονται, τας αριστείας αυτών προτιθέμενοι.

Θεοτοκίον

Ρομφαία τας πύλας, της Εδέμ η φυλάττουσα, παραχωρεί νυν τοις πιστοίς, και υποδέχεται φαιδρώς, τιμίω εν αίματι, του εκ της σης γαστρός τεχθέντος Πανάμωμε, σημειωθέντας ορώσα και χάριτι.

Έτερος. Ο καθήμενος εν δόξη.

Αθλοφόρων ζεύγος θείον καλλιμάρτυρες πάνσεπτοι, οι των γεντηλίων, αρχηγοί στολής ενθεώτατοι, γενναίε Βάκχε και Σέργιε πανάριστε, ηξιώθητε, χαράς εν πόλω ατέρμονος.

Ιησού του Ζωοδότου στρατιώται αήττητοι, Σέργιε και Βάκχε, θράσος του εχθρού απημβλύνατε, ομοφροσύνη ενούμενοι μακάριοι, και κραυγάζοντες· δόξα Χριστέ τη δυνάμει Σου.

Βάθρα άσειστα ανδρείας Βάκχε μάκαρ και Σέργιε, ευσεβών χορείας, εν Χριστού καλώς εστηρίξατε, τη πίστει και των αθέων άπαν φρύαγμα, ηδαφίσατε, υμών αθλήσεως σκάμμασι.

Θεοτοκίον.

Αγαθή Θεοκυήτορ, σώσον τους καταφεύγοντας, Σου τη προστασία, και αποζητούντας Σην εύνοιαν, ημών γαρ πέλεις ακέστωρ σκέπη πρόμαχος, και αντίληψις, των πόθω μεγαλυνόντων Σε.

Ωδή ε'. Ο φωτίσας τη ελλάμψει

Οι την πλάνην αληθείας εν όπλω ελάσαντες, και τυράννων καρτερώς αικισμούς υπομείναντες, νικηταί γεγόνατε, παρά Χριστού στεφανωθέντες, και νυν αξίως αγάλλεσθε.

Νευρούμενοι αηττήτω δυνάμει και χάριτι, της Τριάδος, η δυάς των Μαρτύρων κατέβαλε, τον του σκότους άρχοντα, και τους αυτώ δεδουλωμένους, της τούτου πλάνης ερρύσατο.

Καρτερία και ανδρείαψυχής και στερρότητι, διανοίας ξυνωρίς, των Μαρτύρων η ένδοξος, υπερέβη άπασαν, των διωκτών πικράν μανίαν, και συν Αγγέλοις αυλίζεται.

Θεοτοκίον

Ανέτειλας Θεομήτορ ως όρθρος τον Ήλιον, τον άδυτον ηνωμένον σαρκί καθ' υπόστασιν, εν αγκάλαις φέρουσα, της αληθούς δικαιοσύνης· διο σε πάντες δοξάζομεν.

Έτερος. Εξέστη τα σύμπαντα.

Καλλίνικοι Μάρτυρες, σοφώς ουκ εφροντίσατε, της φθαρτής σαρκός αλλά βασάνους, του μαρτυρίου Σέργιε πανευσταλές, και Βάκχε γενναίε ανδρικώ, σθένει υπεμείνατε, και ηθλήσατε άριστα.

Χριστού το πανάγιον, τρανώς ωμολογήσατε, όνομα εν μέσω του σταδίου, Βάκχε ασπλάγχνως, ηκίσθης μέχρι σχισμού, σαρκός και Σέργιε τομήν, κεφαλής υπέμεινας, της σεπτής και τιμίας σου.

Οπλίται περίδοξοι, του Βασιλέως της κτίσεως, Σέργιε και Βάκχε τροπαιούχοι, Χριστού το πάθος, εν Γολγοθά το φρικτόν, φρονήσει μια ως αληθώς, θείοι εμιμήσασθε, Αθληταί θεοτίμητοι.

Θεοτοκίον.

Υπέραγνε Δέσποινα, τους πόθω μακαρίζοντας, Σε πανευσχημόνως εις αιώνας, λύτρωσαι βλάβης, και εχθρικής απειλής, και πέμψον υψόθεν Σου Υιού, έλεος το πλούσιον, και αμέτρητον Δέσποινα.

Ωδή ς'. Εκύκλωσεν ημάς

Ιάσεων πηγάς Μαρτύρων λείψανα, πλουσίως αναβρύουσιν, αρυσώμεθα προθύμως ουν πιστοί, και τους Αθλοφόρους μακαρίσωμεν, τον ευκλεή, Σέργιον και Βάκχον τον αοίδιμον.

Βαρούμενοι την μετ' ανόμων σκήνωσιν, και πλάνη δυσχεραίνοντες, την ουράνιον πορείαν ευσταλώς, Σέργιος και Βάκχος επορεύοντο, και προς Χριστόν, λιμένα έφθασαν τον αχείμαστον.

Ανοίγονται τοις αθλοφόροις Μάρτυσιν, αι πύλαι αι ουράνιαι, ευλαβούμεναι το πάθος το σεπτόν, το τη εκτιμήσει του Θεού ημών, χαριτωθέν, και φυγαδεύον δαιμόνων φάλαγγας.

Θεοτοκίον

Κυρίως σε Θεού Μητέρα Παναγνε, φρονούντες καταγγέλλομεν· τον γαρ άναρχον Υιόν μονογενή, τον προ των αιώνων αναλάμψαντα, εκ του Πατρός, ανερμηνεύτως Παρθένε τέτοκας.

Έτερος. Την θείαν ταύτην.

Στενήν, οδόν της αθλήσεως, ανύσαντες ομού τρισμακάριστοι, Κυρίου Μάρτυρες, Βάκχε και Σέργιε πάνσεπτοι, προς ύψος αφθαρσίας, σαφώς επήρθητε.

Υμνούμεν, πάντες γηθόμενοι, υμών την νικηφόρον ενάθλησιν, γενναίε Σέργιε, και Βάκχε τόλμης εκτύπωμα, δυάς λαμπρά Μαρτύρων, αξιοθαύμαστε.

Νομίμως θείοι αθλήσαντες, στεφάνοις αφθαρσίας εστέφθητε, παμμάκαρ Σέργιε, και Βάκχε πίστεως καύχημα, διο υμών την μνήμην, αξίως σέβομεν.

Θεοτοκίον.

Υψόθεν, Θεογεννήτρια, φωτί της μετανοίας καταύγασον, ψυχήν του δούλου Σου, αμαυρωθείσαν τοις πάθεσι, και πράξεσι και λόγοις, σαπροίς κραυγάζω Σοι.

Κοντάκιον Ήχος β'. Τα άνω ζητών

Τον νουν προς εχθρούς ανδρείως παρατάξαντες, την πάσαν αυτών απάτην κατελύσατε, και την νίκην άνωθεν, ειληφότες Μαρτυρες πανεύφημοι, ομοφρόνως εκράζετε· καλόν και τερπνόν το συνείναι Χριστώ.

Οίκος

Εν ουρανοίς Χριστέ, κατοικούντες, Σεργιος τε και Βάκχος, και του θείου φωτός του παρά σου εμφορούμενοι, εμέ τον εν σκότει της αγνωσίας πορευόμενον, προφθάσειαν δια τάχους, και των παθών αφαρπάσειαν, μόνε αθάνατε, στολήν μοι της αφθαρσίας καταπέμποντες· όπως λευχειμονών, την φωτοφόρον αυτών εορτήν ανυμνώ,και κραυγάζω σοι Κυριε· Καλόν και τερπνόν το συνείναι Χριστώ.

Συναξάριον

Τη Ζ' του αυτού μηνός, Μνήμη των Αγίων Μαρτύρων, Σεργίου και Βάκχου.

Ωδή ζ'. Σε νοητήν, Θεοτόκε

Χαίρε δυάς, Αθλοφόρων ένδοξε, χαίρε νικήσασα λαμπρώς, των τυράννων τας απειλάς, χαίρε η ανύσασα, δρόμον τον μακάριον, χαίρε τρυφής αεί ένδον μένουσα, χαίρε τρανώς, παρεστώσα Θεώ θεομακάριστε.

Ολολαμπείς, επί γης βαδίζοντες, τας των δαιμονων μηχανάς, και τας όψεις των διωκτών, Μάρτυρες ημβλύνατε, φέγγει τω της χάριτος, και ταις αυγαίς της αθλήσεως, τον αινετόν ανυμνούντες, Θεόν τον υπερένδοξον.

Ναοί Θεού, πεφηνότες ένδοξοι, ζώντος και ζώντες Αθληταί, τη δυνάμει τη του Σταυρού, όντως δυναμούμενοι, στίφος ετροπώσασθε, των δυσμενών παμμακάριστοι, τον κραταιόν εν πολέμοις, Θεόν ύμνοις γεραίροντες.

Θεοτοκίον

Άχραντε συ, ναός εχρημάτισας, και Παναγία κιβωτός, δεξαμένη τον Ποιητήν, τον απερινόητον, και τον απερίληπτον, εν τη γαστρί σου χωρήσασα, τον αινετόν των Πατέρων, Θεόν και υπερένδοξον.

Έτερος. Ουκ ελάτρευσαν.

Μακαρίζομεν, υμάς τους συμφρονήσαντας, ώσπερ ομαίμονας, υπέρ Κυρίου θανείν, παμμέγιστε Σέργιε, και Βάκχε άλκιμε, και γεραίρομεν, υμών τα κατορθώματα, και μαρτύριον το θείον.

Νυν τον Σέργιον, και Βάκχον τον αήττητον, ως καλλιμάρτυρας, ανευφημούμεν λαμπρώς, και πρέσβεις προς Κύριον, τον

Παντοκράτορα, του συστήματος, των ευσεβών κραυγάζοντες· χαίρε ζεύγος μεγαλάθλων.

Ως ανύσαντας, του μαρτυρίου στάδιον, και δόξης κρείττονος, αξιωθέντα πιστώς, υμνήσωμεν Σέργιον, και Βάκχον κράζοντες· παντευλόγητε, πρεσβείαις των Αγίων Σου, σώσον πάντας εκ κινδύνων.

Θεοτοκίον

Απειρόγαμε, Θεοκυήτορ Δέσποινα, Χριστόν τον Κύριον, και Βασιλέα παντός, του κόσμου κυήσασα, εν τη νηδύϊ Σου, γένος έσωσας, το βρότειον Παντάνασσα, εξ αράς των Πρωτοπλάστων.

Ωδή η'. Εν καμίνω Παίδες

Ο τη δρόσω πάλαι τοις Παισί, την φλόγα καταψύξας, εστώτας εν τοις αγώσιν, εδυνάμωσεν αυτού, τους Μαρτυρας ψάλλοντας· Ευλογείτε πάντα τα έργα Κυρίου, τον Κύριον υμνείτε, και υπερυψούτε, εις πάντας τους αιώνας.

Ιοβόλους και ψυχοβλαβείς, θωπείας των τυράννων, εμφρόνως οι, Αθλοφόροι, διεκρούσαντο, Χριστώ, βοώντες και ψάλλοντες· Ευλογείτε πάντα τα έργα Κυρίου, τον Κύριον υμνείτε, και υπερυψούτε, εις πάντας τους αιώνας.

Δραστηρίους φύλακας ημίν, τον Σεργιον και Βακχον, τους όντως στεφανηφόρους, επεστήσατο Χριστός, φρουρούντας τους ψάλλοντας· Ευλογείτε πάντα τα έργα Κυρίου, τον Κύριον υμνείτε, και υπερυψούτε, εις πάντας τους αιώνας.

Ίθυνόν μοι Δέσποτα Χριστέ, πρεσβείαις των Μαρτύρων, την τρίβον της αρετής μοι, κατευμαρίζων και σοι, κραυγάζειν αξίωσον· Ευλογείτε πάντα τα έργα Κυρίου, τον Κύριον υμνείτε, και υπερυψούτε, εις πάντας τους αιώνας.

Θεοτοκίον

Μακαρίζω σε την αληθή, Θεού ημών Μητέρα, το Χαίρε συν τω Αγγέλων προσκομίζων σοι αγνή, πανάμωμε Δέσποινα· σε γαρ όντως πάντα τα έργα, Παρθένε ευλογούσι, και υπερυψούσιν, εις πάντας τους αιώνας.

Έτερος. Παίδας ευαγείς.

Θραύσαντες την πλάνην των ειδώλων, μαχαίρα υμών της πίστεως μακάριοι, νεύροις παρεδόθητε, Βάκχε τε και Σέργιε, και ξίφει δι' αγάπησιν, του Παντοκράτορος, παρ' Ου στεφάνους δόξης αφθίτου, και χαράς αλήκτου, ειλήφατε φωσφόροι.

Λάμψαντες αγώσι μαρτυρίου, και ομοφροσύνη ως αυτάδελφοι, γνήσιοι εσώσατε, άλυτον τον σύνδεσμον, αγάπης και αθλήσαντες, συμφώνως Σέργιε, και Βάκχε εν σκηναίς ουρανίαις, φωτομόρφων δήμοις, συνήφθητε Αγγέλων.

Η αγάπη του Παμβασιλέως, Χριστού ώσπερ δρόσος άϋλος δροσίζουσα, των ψυχών τα μύχια, των υμών πανένδοξοι, ωδήγησε τα βήματα, υμών προς άθλησιν, γενναίαν μάκαρ Σέργιε βάθρον, άσειστον ανδρείας, και Βάκχε καρτερόφρον.

Θεοτοκίον.

Στήριγμα απάντων κλονουμένων, Παρθένε εκφαντορίας αποκάλυψις, και ταμείον έκπαγλον, πλούτου της Θεότητος, πτωχείαν μου εξάλειψον, των έργων πίστεως, και λόγων των σαπρών και αδίκων, ίνα διανύσω, δικαιοσύνης τρίβους.

Ωδή θ'. Τύπον της αγνής

Όλον τον Χριστόν εκτήσασθε· κόσμον γαρ όλον δι' αυτόν κατελίπετε. Και νυν Μάρτυρες, τους ουρανούς εμβατεύοντες, τας χορείας των άνω Δυνάμεων, ανδρών τε μακαρίων, κατανοείτε τας λαμπρότητας.

Νεμοις ξυνωρίς πανάριστε, τω τους επαίνους πόθω σοι προσκομίζοντι, χάριν άνωθεν, και των πταισμάτων συγχώρησιν, δυσωπούσα τον μόνον οικτίρμονα, προς ον επειγομένη, των χαμαιζήλων κατεφρόνησας.

Αίγλη τριλαμπούς θεότητος, πεφωτισμένοι οι αήττητοι Μάρτυρες, την πολύθεον απατηλήν αθεότητα, και τυράννων τον φόβον απώσαντο, και νυν της ακηράτου, κατατρυφώσιν απολαύσεως.

Δρόμον τον καλόν τελέσαντες, την ευσεβή τε πίστιν σώζειν σπουδάσαντες, την ασάλευτον παραλαβείν ηξιώθητε, βασιλείαν πανένδοξοι Μάρτυρες, διάδημα του κάλλους, και ευπρεπείας περικείμενοι.

Θεοτοκίον

Ω των υπέρ νουν θαυμάτων σου! τον του Θεού γαρ Λόγον σάρκα γενόμενον, μόνη τέτοκας, υπερφυώς Μητροπάρθενε, τον τα

σύμπαντα θείω βουλήματι, σοφώς διακρατούντα, και κυβερνώντα και συνέχοντα.

Έτερος. Άπας γηγενής.

Ίσοι αληθώς, τη τόλμη υπάρχοντες, και γενναιότητι, ίσον διηνύσατε, και των αγώνα στερράς αθλήσεως, Μεγαλομάρτυς Σέργιε, και Βάκχε άριστε, όθεν ίσων, αμοιβών ετύχετε, προς Χριστού του Δεσπότου της κτίσεως.

Νίκης καθαράς, περίδοξοι Μάρτυρες, Βάκχε και Σέργιε, όντως επετύχατε, κατά της πλάνης του ειδωλόφρονος, δυνάστου και ειλήφατε, της αφθαρτότητος, τα βραβεία, εκ χειρών του Κτίσαντος, και δεσπόζοντος πάσης της κτίσεως.

Χαίρετε Χριστού, της δόξης συμμέτοχοι, Βάκχε και Σέργιε, μυροθήκαι πίστεως, και ευψυχίας στηλογραφήματα, πανευλαβώς κραυγάζοντες, απεκδεχόμεθα, ικεσίας, τας υμών προς Κύριον, ίνα βίον ανύσωμεν ήρεμον.

Θεοτοκίον.

Μήτερ του Θεού, τοις δούλοις Σου όμβρισον, χάριν την θείαν Σου, δαψιλώς και δρόσισον, ημών καρδίας αυχμώσας κράζομεν, αγνή Θεογεννήτρια, Κυρία Δέσποινα, ίνα πόθω, εις αιώνας άπαντας, Σον πανίερον Τόκον δοξάζομεν.

Εξαποστειλάριον. Γυναίκες ακουτίσθητε.

Οπλίται γενναιότατοι, Χριστού του Παντοκράτορος, Βάκχε ανδρείας πυξίον, και μάκαρ Σέργιε στύλε, φωτόλαμπρε ενστάσεως,

γενναίας και αθλήσεως, υπέρ ημών πρεσβεύσατε, τω αθλοθέτη Κυρίω, και Παντοκράτορι θείω.

Έτερον. Τοις Μαθηταίς

Αδελφική συνδούμενοι, τη στοργή και τη πίστει, οι αθλοφόροι Μάρτυρες, Σέργιος ο θεόφρων, και Βάκχος ο αοίδιμος, σε Χριστέ δυσωπούσιν, ειρήνην σην δωρήσασθαι, κόσμω και τοις εν κόσμω, και Βασιλεί, κατ' εχθρών βαρβάρων τρόπαια νίκης, ημίν πταισμάτων άφεσιν, και ψυχών σωτηρίαν.

Θεοτοκίον

Τον σαρκωθέντα Κύριον, εξ αγνών σου αιμάτων, Παρθενομήτορ άχραντε, δυσωπούσα μη παύση, υπέρ αχρείων σου δούλων, όπως εύρωμεν χάριν, και εύκαιρον βοήθειαν, εν ημέρα η κρίνη, γένος βροτών, ως Θεός παρέχων τα κατ' αξίαν· σε γαρ προστάτιν άπαντες, έχομεν εν ανάγκαις.

Αίνοι. Ήχος α’ . Των ουρανίων ταγμάτων.

Της ξυνωρίδος Μαρτύρων την μνήμην σήμερον, την ιεράν τελούντες, εκ καρδίας βοώμεν· γενναίοι στρατιώται του Ιησού, Βάκχε μάκαρ και Σέργιε, υπέρ ημών δυσωπείτε δια παντός, την Τριάδα την υπέρθεον.

Βουνεύρων βίαν υπέστης καθάπερ άϋλος, και χαίρων ετανύσθης, Βάκχε τροπαιοφόρε, Μαρτύρων αηττήτων φωτολαμπές, και φωσφόρον αμάρυγμα, διο και πάντας καθεύδοντας εν σκιά, σοις αυγάζεις κατορθώμασι.

Τομήν αυχένος υπέστης στερρώ φρονήματι, του βασιλέως πλάνην, καθελών Αθλοφόρε, κοσμήτορ θείε Ρώμης και του Χριστού, στρατηλάτα περίδοξε, διο τιμώντές σε Σέργιε ευλαβώς, μεγαλύνομεν τους άθλους σου.

Του αθλοθέτου Κυρίου καταλαμπόμενοι, ταις νοηταίς ακτίσιν, εν σκηναίς ουρανίαις, τρισμάκαρ Βάκχε λύχνε φωτοειδές, ευψυχίας και Σέργιε, φανέ ανδρείας αιτήσασθε δωρεάς, θείας τοις υμάς γεραίρουσι.

Δόξα... Ήχος β'

Καθορώσα πάλαι η Εκκλησία του Θεού, τους υμών αγώνας, Μαρτυρες παγκόσμιοι, σήμερον φαιδρώς στολίζεται, και πιστώς εορτάζει εν τη μνήμη υμών, ως κόσμον βασίλειον περιφέρουσα την αισχύνην, την επί τοις θείοις υμών αυχέσιν, επιτεθείσαν παικτικώς, δι' ης δόξης κατηξιώθητε της επουρανίου, και της ατελευτήτου μακαριότητος.

Και νυν. Θεοτοκίον.

Ω θαύματος καινού, πάντων των πάλαι θαυμάτων! τις γαρ έγνω Μητέρα, άνευ ανδρός τετοκυίαν, και εν αγκάλαις φέρουσαν, τον άπασαν την κτίσιν περιέχοντα; Θεού εστί βουλή το κυηθέν, ον ως βρέφος Πάναγνε, σαις ωλέναις βαστάσασα, και μητρικήν παρρησίαν προς αυτόν κεκτημένη, μη παύση δυσωπούσα υπέρ των σε τιμώντων, του οικτειρήσαι και σώσαι τας ψυχάς ημών.

Δοξολογία Μεγάλη και Απόλυσις.

Μεγαλυνάριον.

Χαίροις Αθλοφόρων δυάς σεπτή, Σέργιε και Βάκχε, στρατιώται του Ιησού, οι συγκαρτερούντες, εν πόνοις ανυποίστοις, δια της ευσεβείας, ένδοξον θρίαμβον.

